# Landesbibliothek Oldenburg

**Digitalisierung von Drucken**


## Omēru Ilias

**Homerus**

**[Venedig], [1504]**

Titelblatt

urn:nbn:de:gbv:45:1-763472

Visual Library

# ΟΜΗΡΟΥ ΙΛΙΑΣ.

# HOMERI ILIAS.

AL DVS.

Jo. Aug. Ernesti.

Landesbibliothek Oldenburg

τοῦ βίου. ἐνταῦθα ὑπεκτίθεται ὁ κλεάναξ τὴν κριθηΐδα πρὸς ἰσμηνίην τὸν βοιώτιον τῶν ἀποίκων λελογχότα ὃς ἔτυχεν αὐτῷ ἐὼν ἑταῖρος τὰ μάλιστα. χρόνου δὲ προϊόντος, ἐξελθοῦσα ἡ κριθηῒς μετ' ἄλλων γυναικῶν πρὸς ἑορτήν τινα ἐπὶ τὸν ποταμὸν καλούμενον μέλητα, ἤδη ἐπίτοκος οὖσα, τίκτει τὸν ὅμηρον οὐ τυφλὸν, ἀλλὰ δεδορκότα. καὶ τίθεται ὄνομα τῷ παιδὶ μελησιγενέα ἀπὸ τοῦ ποταμοῦ τὴν ἐπωνυμίαν λαβοῦσα. τέως μὲν οὖν ἡ κριθηῒς ἦν παρὰ τῷ ἰσμηνίᾳ. προϊόντος δὲ τοῦ χρόνου ἐξῆλθε καὶ ἀπὸ ἐργασίης χειρῶν ὁρμημένη ἔτρεφε τὸ παιδίον καὶ ἑωυτὴν, ἄλλοτε παρ' ἄλλων ἔργα λαμβάνουσα, καὶ ἐπαίδευσε τὸν παῖδα ἀφ' ὧν ἐδύνατο. ἦν δέ τις ἐν σμύρνῃ τοῦτον τὸν χρόνον φήμιος τοὔνομα, παῖδας γράμματα καὶ τὴν ἄλλην μουσικὴν διδάσκων πᾶσαν. οὗτος μισθοῦται τὴν κριθηΐδα, ὢν μονότροπος, ἐριουργῆσαι αὐτῷ ἔριά τινα, ἃ παρὰ τῶν παίδων εἰς μισθοὺς ἐλάμβανεν. ἡ δὲ παρ' αὐτῷ ἐργάζετο πολλῷ κοσμίῳ καὶ σωφροσύνῃ πολλῇ χρωμένη, καὶ τῷ φημίῳ κάρτα ἠρέσκετο. τέλος δὲ προσηνέγκατο αὐτῇ λόγους πείθων ἑωυτῷ συνοικεῖν, ἄλλα τε πολλὰ λέγων, οἷς μιν ᾤετο προσάξεσθαι. καὶ ἔτι περὶ τοῦ παιδὸς υἱὸν ποιούμενος. καὶ ὅτι τραφεὶς καὶ παιδευθεὶς παρ' αὐτοῦ ἄξιος λόγου ἔσται. ἑώρα γὰρ τὸν παῖδα ἐόντα συνετὸν καὶ κάρτα εὐφυέα, ἔς τ' ἀνέπεισεν αὐτὴν ποιεῖν ταῦτα. ὁ παῖς δὲ ἦν τε φύσιν ἔχων ἀγαθὴν, ἐπιμελίης τε καὶ παιδεύσιος προσγινομένης αὐτίκα πολλὸν τῶν πάντων ὑπερεῖχε. χρόνου δὲ ἐπιγενομένου ἀνδρούμενος, οὐδὲν τοῦ φημίου ὑποδεέστερος ἦν ἐν τῇ διδασκαλίᾳ. καὶ οὕτως ὁ φήμιος ἐτελεύτησε τὸν βίον, καταλιπὼν πάντα τῷ παιδί. οὐ πολλῷ δὲ ὕστερον καὶ ἡ κριθηῒς ἐτελεύτησεν. ὁ δὲ μελησιγενὴς ἐπὶ τῇ διδασκαλίᾳ καθεστήκει, καθ' ἑωυτὸν δὲ γενό-



Landesbibliothek Oldenburg